ὅτε λάρνακι
ἐν δαιδαλέᾳ
ἄνεμός τέ μιν πνέων
κινηθεῖσά τε λίμνα δείματι
ἔρειπεν, οὐκ ἀδιάντοισι παρειαῖς
ἀμφί τε Περσέι βάλλε φίλαν χέρα
εἶπέν τ'· 'ὦ τέκος, οἷον ἔχω πόνον·

σὺ δ' ἀωτεῖς, γαλαθηνῷ
δ' ἤθεϊ κνοώσσεις
ἐν ἀτερπέι δούρατι χαλκεογόμφῳ
<τῷ>δε νυκτιλαμπεῖ
κυανέῳ δνόφῳ ταθείς·
ἄλμαν δ' ὕπερθε τεᾶν κομᾶν
βαθεῖαν παριόντος
κύματος οὐκ ἀλέγεις, οὐδ' ἀνέμου
φθόγγον, πορφυρέᾳ
κείμενος ἐν χλανίδι, πρόσωπον καλόν.
εἰ δέ τοι δεινὸν τό γε δεινὸν ἦν,
καί κεν ἐμῶν ῥημάτων
λεπτὸν ὑπεῖχες οὖας.

κέλομαι δ', εὗδε βρέφος,
εὑδέτω δὲ πόντος, εὑδέτω δ' ἄμετρον κακόν·

3 τε μὴν PM τ' ἐμῆι V τέ μιν ci. Schneidewin τε μέμηνε Page (deinde δὲ λίμνα | δεῖμά τ' ἔρειπέ μιν) 4 δὲ codd. τε Brunck δείματι V δεῖ ματι P δεῖμα M 5 ἔρειπεν MV ἔριπεν P 7 τέκος Ath. τέκνον Dion. 8–9 αυταις ἐγαλαθηνωδει θει PV αὐταῖς ἀγαλαθηνώδει . . . . M αὖτε εἰς γαλαθηνῶι δ' ἤτορι Ath., em. Casaubon, Bergk 9 κνοώσσεις Dion. PV κνώσσεις Ath. Dion. M 10–11 -γόμφω δε codd., suppl. Page 12 ταδ' εις codd., em. Schneidewin 13 αὐλέαν PV αὐλαίαν M ἄλμαν Bergk ἄχναν Page 17 πρόσωπον καλόν MV πρόσωπον καλὸν πρόσωπον P



μεταβουλία δέ τις φανείη,
Ζεῦ πάτερ, ἐκ σέο·
ὅττι δὲ θαρσαλέον ἔπος εὔχομαι
ἢ νόσφι δίκας,
σύγγνωθί μοι.'

(567)

– ⏑ ⏑ – ⏑ ⏑ –
– – – – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ – ⏑ ⏑ – –
– ⏑ ⏑ – – ⏑ ⏑ –
– ⏑ ⏑ – ⏑ ⏑ – –

τοῦ καὶ ἀπειρέσιοι
πωτῶντ' ὄρνιθες ὑπὲρ κεφαλᾶς,
ἀνὰ δ' ἰχθύες ὀρθοὶ
κυανέου 'ξ ὕδατος ἅλ-
λοντο καλᾷ σὺν ἀοιδᾷ.

(579)

– ⏑ – ⏑ –
– ⏑ ⏑ – – – ⏑ – ⏑ – ⏑ ⏑ – –
† † – ⏑ – ⏑ – ⏑ –
– ⏑ – ⋮ – ⏑ ⏑ – ⋮ ⏑ – –
⏑ – ⏑ – ⋮ – ⏑ ⏑ – ⋮ ⏑ – –
– ⏑ – ⏑ –
– – ⏑ – ⏑ – – –

ἐστί τις λόγος
τὰν 'Αρετὰν ναίειν δυσαμβάτοις ἐπὶ πέτραις,

2 δυσαμβάτοις Clem. δυσβάτοις Theod.